ἀγαθότητα καὶ σοφίαν καὶ ἐπιστήμην ἐν τῷ πράγματι εἶναι ὡς εἰσὶν ἐν τῷ Θεῷ, οὐδεμία τῶν ἰδιοτήτων ἐκείνων ἐν τούτοις εὑρίσκεσθαι δύναται, ὥστε οὐδὲ ἡ σύνθεσις ἕπεται ἐξ ἀνάγκης, καὶ τοῦτο δῆλον ἐκ τῶν προειρημένων ἐστί. Ταῦτα δὲ πάντα συνεωρακὼς ὁ ἱερὸς Γρηγόριος, καὶ τῇ τῶν ἀρχαίων διδασκάλων γνώμῃ στοιχῶν, καὶ τῇ ἐπικρατούσῃ τῆς ἐκκλησίας τῆς ἡμετέρας μητρὸς δόξῃ καθάπαξ ἑπόμενος, τὴν θείαν οὐσίαν καὶ τὴν θείαν ἐνέργειαν πραγματικῶς ἔλεγε διακρίνεσθαι, οὐ νοῶν πράγματα τὰς ἐν τῷ Θεῷ τελειότητας ἢ ἐνεργείας κατὰ τὴν συνεσπειραμένην τοῦ πράγματος ἔννοιαν, ὡς τὰς θείας ὑποστάσεις πράγματα εἶναι φαμέν, ἀλλὰ λέγων ταύτας εἶναί τι τοῦ πράγματος καὶ ἐν τῷ πράγματι, καὶ τὸ πᾶν εἰπεῖν, πραγματικὰ μᾶλλον ἢ πράγματα, καὶ πράγματα δὲ ἄλλον τρόπον, ὡς παρὰ τὴν ψυχὴν ὄντα καὶ ἐν τῇ φύσει τοῦ πράγματος, οὐκ ἀνεχόμενος ἐπινοίᾳ μόνῃ τὴν διάκρισιν τούτων τιθέναι, ὡς ἂν ἐντεῦθεν ἕπηται καὶ αὐτὰ ἐπινοίᾳ εἶναι, τοὐλάχιστον τὰς θείας τελειότητας, ὡς οἱ περὶ τὸν Ἀκίνδυνον καὶ Βαρλαὰμ ἐφλυάρουν· ὥστε πραγματικῶς μὲν ἔλεγε πρὸς ἀναίρεσιν τοῦ λόγῳ καὶ κατ᾽ ἐπίνοιαν, τοῖς λόγοις δὲ αὐτὰ διέκρινε, τοῖς τὸ τί ἦν εἶναι δηλοῦσιν καὶ ἀπ᾽ αὐτῆς τῆς τοῦ πράγματος φύσεως. Καὶ ταῦτα μὲν ἀρκείτω, τό γε νῦν ἔχον, στενῶς τε εἰρημένα ὡς ἐν ἐκδρομῇ καὶ ἁπλούστερόν πως, ὡς ἂν πλείοσιν ἔκδηλα εἴη. Ἐν ἰδίᾳ δὲ πραγματείᾳ περὶ τούτων, ἂν ὁ Θεὸς θέλῃ, ἐμβαθυνοῦμεν τῷ ζητήματι τούτῳ, καὶ ὅσα δεῖ περὶ αὐτοῦ ἀνιχνεύσομεν, καθὼς ἂν τόθ᾽ ἡμῖν ἐμπνευσθείη. Ἀλλὰ νῦν τῶν προκειμένων ἑκτέον.

## XCV.

### ιε'. Εἰ τὸ εἶναι ἔν τινι ἐστὶ κατηγορίᾳ.

Ἐπεὶ δὲ πολλὰ περὶ τοῦ εἶναι προείρηται, δεῖ καὶ τοῦτο προσθεῖναι τὸ ζήτημα περὶ αὐτοῦ (ζητεῖσθαι γὰρ ἄξιον) ἐν ποίᾳ κατηγορίᾳ τυγχάνει f. 77
τὸ εἶναι. Διὰ βραχέων οὖν καὶ ὡς ἐξ ὑπογυίου δεῖ λέγειν ἀποκρινομένους, ὡς ἢ κοινῶς διαλεγόμεθα περὶ τοῦ εἶναι, ἢ εἰδικῶς· εἰ μὲν δὴ κοινῶς, ἐν οὐδεμιᾷ κατηγορίᾳ ἐστίν, ἀλλὰ περιέρχεται πάσας, ὡς καὶ αὐτὸ τὸ ὄν· εἰ δὲ περὶ τοῦ εἶναι εἰδικῶς, τοῦτο πάλιν διχῶς· ἢ γὰρ περὶ τοῦ εἶναι τῆς οὐσίας, ἢ περὶ τοῦ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως. Εἰ μὲν οὖν κατὰ τὸν πρότερον τρόπον, ἐπεὶ τὸ τοιοῦτον εἶναι ταὐτόν ἐστι πραγματικῶς τῇ οὐσίᾳ, ἐν τῇ αὐτῇ κατηγορίᾳ μετὰ τῆς οὐσίας ἐστίν, ὥσπερ τὸ εἶναι τῆς τοῦ αὐτοῦ οὐσίας ἐν τῷ γένει τῆς οὐσίας ἐστίν, ἐν ᾧ καὶ ὁ ἄνθρωπος, καὶ τὸ εἶναι τῆς οὐσίας τῆς λευκότητος ἐστὶν ἐν τῷ τῆς ποιότητος γένει, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Εἰ δὲ περὶ τοῦ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως, καὶ τοῦτο πάλιν διχῶς· ἢ γὰρ ἁπλῶς τοῦτο θεωροῦμεν καὶ καθ᾽ αὑτό, καὶ οὕτως ἐν τῷ γένει τοῦ συμβεβηκότος ἐστὶν κἂν τῇ τῆς ποιότητος κατηγορίᾳ διὰ τὸ πᾶσαν ἐντελεχείᾳ

ὕπαρξιν εἶναί τι συμβεβηκός. Ὅθεν φησὶν Ἀβινσένας ὡς, ἐπειδὰν λέγω· ἄνθρωπος ἔστιν, αὕτη ἡ πρότασις ἐστὶ κατὰ συμβεβηκός, εἰ τὸ ἔστιν ἐνταῦθα ληφθείη ὡς ἡ κατὰ τὴν ἐντελέχειαν ὕπαρξις· ἂν δὲ ὡς τὸ εἶναι τῆς οὐσίας ληφθῇ, οὕτως οὐσιώδης ἐστὶ κατηγορία. Εἰ μὲν οὖν ἁπλῶς θεωροῖμεν καὶ καθ' αὑτό, ταύτῃ συμβαίνει· εἰ δὲ καθό ἐστιν ὅρος τινὸς οὗ ἐστιν, καὶ οὕτω δεῖ λέγειν, ὡς ἐν ἐκείνῃ τῇ κατηγορίᾳ ἐστίν, ἐν ᾗ ἐστι καὶ αὐτὸ τὸ οὗ ἐστιν ὅρος, ὥσπερ τὸ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως τοῦ ἀνθρώπου ἐν ἐκείνῃ τῇ κατηγορίᾳ ἐστὶν ἐν ᾗ καὶ ὁ ἄνθρωπος· καὶ τὸ εἶναι ὡσαύτως τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως τῆς λευκότητος ἐν τῇ κατηγορίᾳ ἐν ᾗ καὶ ἡ λευκότης ἐστὶ κατ' ἀναγωγήν· πῶς δ' ἂν εἴη τὸ κατ' ἀναγωγήν, καὶ ποσαχῶς ἂν εἴη τι ἐν κατηγορίᾳ κατ' ἀναγωγήν, αὐτίκα θεωρηθήσεται.

Τούτων θεωρηθέντων, φανερὸν ἤδη ἐστί. — Δείξας ὁ διδάσκαλος ἀνωτέρω τίς ἐστιν ἡ οὐσία ἐν ταῖς συνθέτοις καὶ ἁπλαῖς οὐσίαις, ἐν τούτῳ τῷ μέρει πλειόνος εἵνεκα σαφηνείας τῶν εἰρημένων ἐπανακεφαλαιοῦται καὶ οἷον εἰπεῖν ἐπισυνάγει τὰ εἰρημένα, καὶ διακρίνει πάσας τὰς οὐσίας εἰς γένη τρία· ὅθεν καὶ διαιρεῖται τὸ μέρος εἰς τρία, ὧν ἐν ἑκάστῳ ἑκάστου γένους ἅπτεται τῆς οὐσίας. Τὸ δὲ πρῶτον αὖθις μέρος εἰς τρία διαιρεῖται· ἐν μὲν γὰρ τῷ πρώτῳ τίθησι τὸν πρῶτον τρόπον τοῦ ἔχειν οὐσίαν· ἐν τῷ δευτέρῳ ἀλήθειάν τινα πορίζεται ἐκ τῶν εἰρημένων· ἐν δὲ τῷ τρίτῳ διασαφεῖ τινα ἀπορούμενα. Πρῶτον τοίνυν τὸν ἑαυτοῦ προτάττων σκοπόν, τὸν πρῶτον τίθησι τρόπον, καὶ φησὶν ὅτι εἷς μὲν καὶ πρῶτος
f. 77ʳ | τρόπος τοῦ ἔχειν οὐσίαν ἐστὶν ὅταν τὸ τὴν οὐσίαν ἔχον ταὐτὸν ᾖ πραγματικῶς τῷ ἰδίῳ εἶναι, καὶ τοῦτ' ἔστιν αὐτὸς ὁ Θεός· κἀντεῦθεν φιλόσοφοί τινες εἶπον τὸν Θεὸν μὴ ἔχειν οὐσίαν διὰ τὸ τὴν οὐσίαν αὐτοῦ μὴ διαφέρειν τοῦ εἶναι αὐτοῦ.

## XCVI.

### ϞϚʹ. Πῶς ὁ Θεός ἐστι πρῶτον ἐν πᾶσι τοῖς οὖσι.

Δεῖ γὰρ εἰδέναι, ὡς καὶ πρότερον εἴρηται, ὅτι μόνος ὁ Θεὸς ἔχει τὸ εἶναι κατὰ τὴν οὐσίαν αὐτοῦ, ἢ διὰ τῆς οὐσίας, πάντα δὲ τὰ ἄλλα τὸ εἶναι ἔχουσι κατὰ μετοχήν, καὶ διὰ τοῦτο ὁ Θεός ἐστι πρῶτος ἐν πᾶσι τοῖς οὖσι, διότι τὸ κατ' οὐσίαν τοιόνδε πρῶτόν ἐστι πάντων τῶν κατὰ μετοχὴν τοιούτων, ὥσπερ τὸ πῦρ κατ' οὐσίαν ἔχον τὸ εἶναι θερμὸν πρῶτόν ἐστιν ἐν τῷ τῶν θερμῶν γένει. Ἐντεῦθεν, φησίν, ἕπεται μὴ εἶναι τὸν Θεὸν ἔν τινι γένει, καὶ λόγον τοιόνδε προστίθησιν. Ἅπαν ἐν γένει ὂν

---

6 *ἐστι καὶ — ἐν ᾗ* om L. Cette omission nous montre que L est transcrit sur une copie antérieure et que Scholarios est victime d'une distraction habituelle aux copistes. 13 *Τούτων θεωρηθέντων*: c. VI, 1, p. 170, 16

Ε.Υ.Δ.…ε.π.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

δεῖ ἔχειν οὐσίαν τοῦ εἶναι αὐτοῦ διαφέρουσαν· ἀλλ' ὁ Θεὸς οὐκ ἔχει τὴν οὐσίαν ἄλλην παρὰ τὸ εἶναι αὐτοῦ· ὁ Θεὸς ἄρα οὐκ ἔστιν ἔν τινι γένει. Ἡ μὲν οὖν ἐλάττων σαφής ἐστιν ἐκ τῶν εἰρημένων· τὴν δὲ μείζονα φανεροῖ· ἡ γὰρ οὐσία, φησίν, ἢ ἡ φύσις τοῦ γένους ἢ τοῦ εἴδους οὐ διακρίνεται κατὰ τοὺς λόγους τῆς φύσεως ἐν ἐκείνοις ὧν ἐστι τὸ γένος ἢ τὸ εἶδος, ἀλλὰ τὸ εἶναι ἐστὶ διάφορον ἐν διαφόροις. Ἀλλ' εἴπερ τὸ εἶναι καὶ ἡ οὐσία ταὐτὸν ἦν, ἔδει γ' ἄν, εἴπερ θάτερον διακρίνεται, καὶ τὸ λοιπὸν διακρίνεσθαι, καὶ εἰ μὴ θάτερον, μηδὲ θάτερον. Ἐπεὶ τοίνυν τὸ μὲν εἶναι διακρίνεται, ἡ δὲ οὐσία μή, ἐξ ἀνάγκης δεῖ λέγειν, ὅτι τὸ εἶναι καὶ ἡ οὐσία διαφέρουσιν ἐν πᾶσι τοῖς οὖσιν ἔν τινι γένει. Τούτου δὲ τοῦ λόγου τὴν μείζω τέθεικε μόνον ὁ διδάσκαλος μετὰ τῆς ἀποδείξεως.

## XCVII.

### ϟζ'. Πότερον ὁ Θεός ἐστιν ἔν τινι γένει.

Ἀλλ' ἀπορήσειεν ἄν τις ἐνταῦθα πῶς ἐστὶν ἀδύνατον τὸν Θεὸν εἶναι ἔν τινι γένει, εἴπερ ἴσμεν αὐτὸν ἔν τινι γένει ὄντα· αὕτη γὰρ ἡ κατηγορία προδήλως ἀληθής ἐστιν, ἡ ὅτι ὁ Θεός ἐστιν οὐσία, ἐπείπερ οὐσία μὲν λέγεται πᾶν ᾧ πρόσεστι τὸ καθ' αὑτὸ εἶναι· ὁ δὲ Θεὸς ἔχει μάλιστα τὸ εἶναι καθ' ἑαυτόν· οὐκοῦν εἰ ἐν μηδενὶ ἄλλῳ, ἐν γοῦν τῷ τῆς οὐσίας γένει δοκεῖ τὸν Θεὸν εἶναι. Πρὸς ταύτην δεῖ λέγειν τὴν ἀπορίαν, ὅτι ὁ Θεὸς οὐκ ἔστιν ἔν τινι γένει, καὶ καλῶς τοῦτ' εἴρηκεν ὁ διδάσκαλος· πᾶν γὰρ ἔν τινι γένει ὂν ἢ καθ' αὑτό ἐστιν ἐν αὐτῷ καὶ κατ' εὐθεῖαν, ἢ κατά τι καὶ πλαγίως, δηλαδὴ κατὰ ἀναγωγήν· ἀλλ' ὁ Θεὸς οὐδετέρῳ τῶν τρόπων τούτων ἐν γένει δύναται εἶναι· καὶ κατ' εὐθεῖαν μέν, διότι ἦν ἂν οὕτως εἶδος· πᾶν δὲ εἶδος ἐκ γένους σύγκειται καὶ διαφορᾶς· πᾶν δὲ ἐκ γένους συγκείμενον καὶ διαφορᾶς ἐν ἑαυτῷ τι δυνάμεως ἔχει, διότι τὸ γένος ἀεὶ καὶ τὸ παρ' οὗ τὸ γένος λαμβάνεται, ἔχει πρὸς τὴν διαφορὰν καὶ τὸ παρ' οὗ λαμβάνεται ἡ διαφορὰ ὡς δύναμις πρὸς ἐνέργειαν· ἀλλ' ἐν τῷ Θεῷ λόγον τινὰ δυνάμεως τοιαύτης πίπτειν ἀδύνατον· οὐ γὰρ ἂν ἦν ἁπλούστατόν τι καὶ τελεώτατον· δραστικὴ μέντοι γε δύναμις | ἐν αὐτῷ f. 78 τίθεται πάνυ, ἀλλ' αὕτη οὐδεμίαν ἔνδειαν ἐπιφέρει, τοὐναντίον μὲν οὖν. Κατ' ἀναγωγὴν δέ, ἀδύνατον ἐν γένει τὸν Θεὸν εἶναι.

## XCVIII.

### ϟη'. Ὅπως τὸ κατ' ἀναγωγὴν εἶναι ἔν τινι κατηγορίᾳ πολλαχῶς δεῖ νοεῖσθαι.

Ὡς ἂν δὲ σαφέστερος ὁ περὶ τούτου γένοιτο λόγος, εἰδέναι δεῖ, ὅτι πολλαχῶς τι δύναται κατ' ἀναγωγὴν ἐν κατηγορίᾳ τινὶ τίθεσθαι· πρῶτον μὲν ὡς τὰ μέρη τὰ συνιστῶντα τὸ ὅλον, ἐν τῷ γένει τοῦ ὅλου αὐτῶν εἰσι κατ' ἀναγωγήν, ὥσπερ ἡ λογικὴ ψυχὴ καὶ τὸ σῶμα, ἤ εἰσι μέρη τοῦ

συνθέτου καὶ ὅλου, ἐν τῷ τοῦ ἀνθρώπου εἰσὶ γένει· δεύτερον, ὡς τὰ ἀντικείμενα τοῖς οὖσιν ἐν κατηγορίᾳ, καὶ αὐτὰ ἐν τῇ αὐτῇ εἰσι κατηγορίᾳ κατ' ἀναγωγήν, ὥσπερ αἱ στερήσεις καὶ ἀποφάσεις εἰσὶν ἐν τῷ γένει τῶν ἕξεων· οὕτω γὰρ ἥ τε τυφλότης ἐν τῷ αὐτῷ ἐστι γένει μετὰ τῆς ὄψεως, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· τρίτον, ὡς αἱ ἀρχαί, ὃν τρόπον ἡ στιγμὴ ἐν τῷ αὐτῷ ἐστι γένει μετὰ τῆς γραμμῆς, καὶ ἡ μονὰς μετὰ τοῦ ἀριθμοῦ· τέταρτον, ὡς τὸ ἀτελὲς ἐν τῇ τοῦ τελείου κατηγορίᾳ ἐστί, καθάπερ ἡ κίνησις, ἀτελές τι τυγχάνουσα, τίθεται κατ' ἀναγωγὴν ἐν τῷ γένει τοῦ ὅρου αὐτῆς· πέμπτον, ὡς τὰ κατώτερα κατ' ἀναγωγὴν ἐν τῷ γένει τῶν ὑψηλοτέρων εἰσίν, ὥσπερ τὰ ἄτομα οὐκ ὄντα κυρίως ἔν τινι κατηγορίᾳ, ὅμως ἐν τῷ γένει τῶν οἰκείων εἰδῶν εἰσι κατ' ἀναγωγήν· ἕκτον, ὡς ὁ ὅρος καὶ τὸ πέρας ἐστὶν ἐν τῇ κατηγορίᾳ τοῦ οὗ ἐστιν ὅρος, ὥσπερ εἴρηται περὶ τοῦ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως, ὅτι ὅρος ἐστὶ πράγματος τινός, καὶ ἔστιν ἐν τῇ αὐτῇ κατηγορίᾳ μετ' ἐκείνου τοῦ πράγματος οὗ ἐστιν ὅρος· οὕτω γὰρ τὸ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως τοῦ ἀνθρώπου ἐστὶν ἐν τῇ αὐτῇ κατηγορίᾳ μετὰ τοῦ ἀνθρώπου, καὶ τοῦτ' ἔστιν ὃ μικρῷ πρόσθεν λέγειν ἐπηγγειλάμεθα.

Τούτων τοίνυν προϋποτεθειμένων, δῆλον ἐστὶ τῇ καθ' ἕκαστον τῶν εἰρημένων ἐφόδῳ, ὅτι ὁ Θεὸς οὐκ ἔστιν ἔν τινι γένει κατ' ἀναγωγὴν οὐδενὶ τῶν προσεχῶς ἀποδεδομένων τρόπων. Οὔτε γὰρ δύναται μέρος εἶναί τινος ὅλου, οὔτε στέρησίς ἐστιν ἢ ἀπόφασις, ἀλλ' ἔστιν ὂν πραγματικώτατον· οὔτε δυνατόν ἐστιν εἶναι αὐτὸν ἀρχήν, ὡς ἡ στιγμὴ καὶ ἡ μονάς, καὶ τοῦτ' αὐτόθεν δῆλον ἐστίν· οὐδὲ κίνησις τίς ἐστι, φύσει τελεώτατος ὤν· οὐδ' ἔχει τι ὑπὲρ αὐτόν, καθάπερ τὸ ἄτομον, ἀλλ' ὑπεράνω πάντων ἐστίν· οὐδ' ἔστιν ὅρος τινὸς καὶ πέρας κατά τινα ἔμφυσιν καὶ ὕπαρξιν, ὡς ἔστι τὸ εἶναι τῆς κατὰ τὴν ἐντελέχειαν ὑπάρξεως· καὶ οὕτω δείκνυται φανερῶς, ὡς οὐδένα τρόπον ἐστὶν ἔν τινι γένει.

## XCIX.

### ϞΘ'. Ὅτι ἡ οὐσία διχῶς λαμβάνεται, καὶ τίς οὐσία ἐστὶ κατηγορία.

Πρὸς δὲ τὸν λόγον ἐκεῖνον, ὃς εἰς τοὐναντίον ἐπεχείρει, ῥητέον ὡς ἡ οὐσία διχῶς λαμβάνεσθαι δύναται· ἕνα μὲν τρόπον, ὡς σημαίνει τὸ καθ' αὑτὸ ὂν καὶ οὐδὲν ἄλλο, καὶ οὕτω δυνατόν ἐστιν ἀληθῶς λέγειν, ὡς
f. 78v ἔστιν ὁ Θεὸς οὐσία· οὕτω δὲ | ἡ οὐσία οὐκ ἔστι κατηγορία· ἕτερον δὲ τρόπον δυνατόν ἐστι λαμβάνεσθαι τὴν οὐσίαν, ὡς σημαίνει τὸ καθ' αὑτὸ ὂν οὕτινος τὸ εἶναι διενήνοχε τῆς οὐσίας αὐτοῦ, καὶ οὕτως ὁ Θεὸς οὐκ ἔστιν οὐσία, ὡς ἐκ τῶν εἰρημένων δῆλον ἐστίν· καὶ τοῦτον τὸν τρόπον ἡ

12 *ὅρος* (2°): *πέρας* L

Ε.Υ.Δ τ.ηγ.Κ.τ.Ι IOANNINA 2006

οὐσία λαμβανομένη ἐστὶ κατηγορία. Ὅτι δὲ τὸ καθ' αὑτὸ εἶναι ἄνευ τινὸς προσθήκης οὐκ ἔστιν ὁ λόγος τῆς οὐσίας ὡς ἡ οὐσία γένος ἐστί, δῆλον ἐντεῦθεν. Τὸ μὲν γὰρ ὂν οὐκ ἔχει λόγον γένους· τὸ δὲ καθ' αὑτὸ πολλῷ ἧττον· οὐ γὰρ δοκεῖ ἐπιφέρειν εἰ μὴ ἀπόφασιν μόνον· λέγεται γὰρ καθ' αὑτὸ εἶναι διὰ τὸ μὴ εἶναι ἐν ἄλλῳ, ὅπερ ἐστὶν ἀπόφασις καθαρά· ἀπόφασις δὲ οὐκ ἄν ποτε δύναιτ' ὁρισμὸν γένους ποιεῖν· οὕτω γὰρ τὸ γένος οὐ τί ἐστι τὸ πρᾶγμα, ἀλλὰ τί οὐκ ἔστιν ἐσήμαινεν ἄν. Οὐκοῦν, εἰ μήτε τὸ ὄν, μήτε τὸ καθ' αὑτὸ δύναται γένος εἶναι ἐν τῷ λόγῳ τῆς οὐσίας καὶ πρὸς τούτοις τὸ καθ' αὑτὸ ἀπόφασίν τινα μᾶλλον σημαίνει, δῆλον ἐστὶ μὴ εἶναι λόγον τῆς οὐσίας τὸ καθ' αὑτὸ ὄν, ἀλλ' εἴπερ ἄρα λόγον τινὰ τῆς οὐσίας δεῖ λέγειν, οὗτος ἂν εἴη· οὐσία ἐστὶ πρᾶγμα ᾧ ἁρμόζει ὡδὶ εἶναι, τουτέστι καθ' ἑαυτό, καὶ μὴ ἐν ὑποκειμένῳ, ὡς ἂν ἐντεῦθεν νοῆται, ὅτι οὐσία ἐστὶ τὸ ἔχον φύσιν τοιαύτην, ἥτις οὐκ ἄν ποτε γένοιτο ἐν ἄλλῳ. Ὁ δὲ Θεὸς οὐκ ἔχει φύσιν ἢ οὐσίαν ἄλλην παρὰ τὸ εἶναι αὐτοῦ· αὐτὸς γάρ ἐστι τὸ εἶναι αὐτοῦ.

Ταῦτα μὲν κατὰ τὴν τοῦ διδασκάλου γνώμην εἴρηται ἐν πρώτῳ τῆς κατὰ Ἑλλήνων αὐτοῦ πραγματείας· ἤκουσα δέ τινος ἔγωγε ἁπλούστερον τὸν λόγον λύοντος ἐκεῖνον. Ἔφασκε γὰρ ὅτι· συγχωρῶ μὲν λόγον εἶναι τῆς οὐσίας τὸ καθ' αὑτὸ ὄν, ἢ τὸ καθ' αὑτὸ ὑφεστώς, καὶ τὸν Θεὸν εἶναι οὐσίαν καὶ καθ' ἑαυτὸν ὑφεστῶτα· ἀλλὰ φημὶ ὅτι τὸ καθ' αὑτὸ ὑφεστάναι οὐ συνωνύμως ἀλλ' ἀναλογικῶς τοῦ τε Θεοῦ καὶ τῆς οὐσίας κατηγορεῖται· ἡ γὰρ οὐσία ἐν ἄλλῳ μὲν οὐκ ἔστιν ὑποκειμένῳ, ἐν αὐτῇ δὲ ἄλλο ἐστίν, ἤγουν τὸ συμβεβηκός· τοῦτο δὲ οὐκ ἔστιν ἀληθὲς ἐπὶ Θεοῦ.

Εἰ δὲ λέγοι τις περὶ τῶν ἁπλῶν οὐσιῶν· ἀλλὰ καὶ αὗται μὲν σύγκεινταί πως ἐκ γένους καὶ διαφορᾶς, ὁ δὲ Θεὸς οὐδαμῶς ἐκ γένους καὶ διαφορᾶς σύγκειται· σύγκεινται δὲ αἱ νοήσεις ἐκ γένους καὶ διαφορᾶς, τοὐλάχιστον ὅτι τῷ μὲν ἀφίστασθαι τοῦ τελείου τῆς πρώτης αἰτίας τὸν τοῦ γένους ἔχουσι λόγον· τὸ γὰρ γένος λαμβάνεται ἐκ τοῦ ἐν τῷ πράγματι ἀτελοῦς, τῷ δὲ τελείας εἶναι ἐν τῷ τοιῷδε βαθμῷ ἢ τῷ τοιῷδε εἴδει τοῦ ὄντος τὸν τῆς τελειότητος ἔχουσι λόγον, ὅθεν ὁ τῆς διαφορᾶς λαμβάνεται λόγος· καὶ ἡ μὲν οὐσία ποιητικῶς ἐστιν ἐκ Θεοῦ· δεῖ γὰρ τοῦτο προϋποκεῖσθαι· ὁ δὲ Θεὸς πρώτη πάντων αἰτία τῶν ὁπωσοῦν ὄντων ἐστίν, καὶ διὰ τοῦτο δύναμαι λέγειν τὸν Θεὸν οὐκ ἐν τῷ γένει τῆς οὐσίας εἶναι, ἀλλ' ἐν τῷ αὐτῷ γένει μετὰ τῆς οὐσίας ἀναλογικῶς, ὅτι τὸ καθ' αὑτὸ εἶναι οὐχ ὁμοίως ἔχουσιν, ἀλλὰ μάλιστα μὲν ὁ Θεὸς καὶ κατὰ τὸν τελεώτατον καὶ ὑψηλότατον | τρόπον, κατά τινα δὲ ὁμοιότητα τοῖς κτίσμασι πρέπουσαν καὶ f. 79 ἡ κτιστὴ πᾶσα οὐσία. Τὸ δὲ τοιοῦτο γένος οὐκ ἔστι κυρίως γένος, ἀλλ' ἡ

11 *οὗτος* corrigé de *οὕτως* dans L    23 *τοῦ Θεοῦ* L    25 *διαφορῶν* L
31 *τοῦ Θεοῦ* L



Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὡς καθόλου μόνον· οὕτω γὰρ τὸ ὂν γένος ἐστὶν οὐσίας καὶ συμβεβηκότος, εἰ καὶ μὴ ἔστι κυρίως γένος, τουτέστι συνωνύμως κατηγορούμενον.

Γεγόνασι δέ τινες λέγοντες τὸν Θεὸν εἶναι ἐν γένει τῷ τῆς οὐσίας καθ' αὐτὸν καὶ ἁπλῶς· εἰ γὰρ μὴ ἔστιν εὑρεῖν ἐν αὐτῷ, φασί, πραγματικῶς τὸ ὅθεν ἂν ὁ τοῦ γένους ληφθείη καὶ τὸ ὅθεν ὁ λόγος τῆς διαφορᾶς, ὡς ἐν τοῖς ἄλλοις ἐστὶ τοῖς ὑπό τινι τυγχάνουσι γένει, ἀλλὰ τῷ γε τρόπῳ τῆς ἡμῖν ἐφικτῆς θεωρίας δυνάμεθα δύο τινὰ θεωρεῖν ἐν αὐτῷ, οἷς τὸν τοῦ γένους καὶ τῆς διαφορᾶς λόγον ἐφαρμόττειν ἔστιν. Ἔνθεν μὲν γὰρ ἡ πρώτη αἰτία θεωρεῖται παρ' ἡμῶν ὡς ὑφέστηκε καθ' αὑτήν, καθ' ὃ δὴ τὸν τοῦ γένους αὐτῇ λόγον ἀποδιδόαμεν· ἔνθεν δὲ νοοῦμεν αὐτὸν ὡς τελειότατον ὑφεστώς, καὶ οὕτως αὐτῷ τὸν τῆς διαφορᾶς ἐφαρμόττομεν λόγον. Ἀλλὰ τοῦτο κακῶς ὑπ' αὐτῶν λέγεται. Εἰ γὰρ πᾶν ὅπερ ἐστὶν ἐν γένει κυρίως ἔχει πραγματικῶς ἐν ἑαυτῷ δύο τινά, ὧν τὸ μέν ἐστιν ἀτελές, τὸ δὲ τέλειον, ἐξ ὧν ὁ τοῦ γένους καὶ τῆς διαφορᾶς λαμβάνεται λόγος, ταῦτα δὲ οὐκ ἐμφαίνονται τῷ Θεῷ κατὰ τὸ πρᾶγμα, οὐδὲ ἐν γένει κυρίως ἐστὶν ὁ Θεός.

Ἕτεροι εἶπον κατ' ἀναγωγὴν εἶναι τὸν Θεὸν ἐν τῷ τῆς οὐσίας γένει ὡς ἀρχὴν τῆς οὐσίας, καὶ τοῦτο κακῶς ὑπ' αὐτῶν λέγεται· οὐ γὰρ ἀρχὴ τῆς οὐσίας ἐστίν, ἀλλὰ ὅλου τοῦ ὄντος· οὔτε ἀρχή ἐστι τῆς οὐσίας κατὰ ἀνάλυσιν εὑρισκομένη, ὡς ἡ στιγμὴ τῆς συνεχοῦς ποσότητος, καὶ ἡ μονὰς τῆς διωρισμένης, ἀλλ' ἀρχὴ μᾶλλον ποιητική· οὐδὲ συνημμένη τοῖς πράγμασιν, ἀλλ' ἐξῃρημένη.

Ἕτεροι εἶπον τὸν Θεὸν γένος εἶναι πάντων· ἀλλὰ καὶ τοῦτο ψεῦδός ἐστίν· πρῶτον μὲν γὰρ ἐχρῆν αὐτοῦ πάντα συνωνύμως μετέχειν, τοῦτο δέ ἐστιν ἀδύνατον· ἔπειτα, τὸ μὲν γένος κοινόν ἐστι πᾶσι τοῖς ὑπ' αὐτῷ περιεχομένοις, καὶ τὸ πολλοῖς κοινὸν οὐκ ἔστιν ἄλλο παρὰ τὰ πολλὰ εἰ μὴ τῷ λόγῳ μόνον· ὁ δὲ Θεὸς ἔστιν ἐν τῇ τοῦ πράγματος φύσει, καὶ οὐκ ἐν μόνῃ τῇ διανοίᾳ· καὶ πρὸς τούτοις ὁ τοῦ γενικωτάτου γένους λόγος ἐκ τοῦ τρόπου τῆς ὑπάρξεως λαμβάνεσθαι εἴωθεν, ἀδύνατον δέ ἐστι τὸν λόγον τῆς θείας φύσεως ἐκ τοῦ τρόπου τῆς τῶν ὄντων ὑπάρξεως λαμβάνεσθαι, ὧν ἐστι γένος κατὰ τοὺς οὕτω λέγοντας.

## C.

ρ'. Ὅπως τὸ θεῖον εἶναι οὐκ ἔστι κοινὸν κατηγορικὸν πάντων.

Ἀλλ' οὐδ' εἰ φαμὲν ὅτι ὁ Θεός. — Διασαφεῖ τινα ἀπορούμενα δύο, ὧν τὸ πρῶτον τοιόνδε ἐστίν. Δυνατὸν ἦν τινα ἀπορεῖν μήποτε τὸ θεῖον εἶναι, καὶ ἀκολούθως αὐτὸς ὁ Θεός, κατηγορεῖται κατὰ πάντων τῶν ὄντων· εἴρηται γὰρ τὸ εἶναι τοῦ Θεοῦ μὴ διαφέρειν τῆς οὐσίας

10 *ἀποδιδόαμεν* sic codd. 35 *Ἀλλ' οὐδ' εἰ φαμὲν*: c. VI, 1, p. 170, 26

Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αὐτοῦ· τῇ δὲ θείᾳ οὐσίᾳ, ὅτι μηδὲν προστίθεται, | σαφές ἐστι δήπου· οὐ f. 79v γὰρ δυνατὸν αὐτῇ πως προσεῖναι τὸν τῆς δυνάμεως λόγον· οὐκοῦν οὐδὲ τῷ θείῳ εἶναι δυνατόν ἐστι προσθήκην τινὰ γίνεσθαι· ἀλλὰ τὸ ὂν ᾧ μηδὲν προστίθεται, τὸ κοινόν ἐστιν ὄν, ὃ κατὰ πάντων κατηγορεῖται, καὶ ᾧ ἕκαστόν ἐστι πρᾶγμα εἰδικῶς. τὸ θεῖον ἄρα εἶναι κατὰ πάντων κατηγορεῖται. ὅθεν, ὥσπερ δυνάμεθα λέγειν· ὁ ἄνθρωπός ἐστιν ὄν, οὕτω δυνατόν ἐστι λέγειν· ὁ ἄνθρωπός ἐστι τὸ θεῖον εἶναι, ἤ· Θεός ἐστιν. Ταύτην τὴν ἀπορίαν ἀποσκευάζεται, λέγων ὡς οὐ δεῖ τοῦτο φρονεῖν οὕτως· ἑτέρας γάρ ἐστιν ἰδιότητος τὸ θεῖον εἶναι, καὶ ἄλλης τὸ καθόλου τὸ κατηγορούμενον· τὸ μὲν γὰρ θεῖον εἶναι, εἴτουν ὁ Θεός, τοιαύτης ἐστὶν ἰδιότητος ὥστε μηδεμίαν αὐτῇ προσθήκην δύνασθαι γίνεσθαι, καὶ διὰ τοῦτο αὐτῷ τῷ οὕτως ὑπάρχειν εἰλικρινὲς ἀπὸ παντὸς ἄλλου εἶναι διακέκριται· καὶ τὰ ἑξῆς δὲ τῆς λύσεως κατὰ τὴν λέξιν σαφῆ εἰσιν. Ἀλλὰ σημειοῦσθαι δεῖ, ὅπως ἡ δύναμις ὅλης τῆς λύσεως ἐν τούτῳ συνέστηκεν ὅτι τοῦθ' ὃ λέγεται· καὶ εἶναι ἐστὶν ᾧ μηδὲν προστίθεται, δύναται διπλῆν διάνοιαν ἔχειν· ἢ ὅτι τῷ εἶναι οὐδὲν προστίθεται διὰ τὸ ἐκ τοῦ λόγου αὐτοῦ εἶναι τὸ μηδεμίαν αὐτῷ προσθήκην γίνεσθαι δύνασθαι· καὶ τὸ τοιοῦτον εἶναι τὸ θεῖον εἶναι ἐστίν· ἢ ὅτι οὐκ ἔστιν ἐκ τοῦ λόγου αὐτοῦ τὸ γίνεσθαί τινα προσθήκην αὐτῷ, ἀλλ' οὐδὲ ἐκ τοῦ λόγου ἐστὶν αὐτοῦ τὸ μηδεμίαν αὐτῷ προσθήκην γίνεσθαι· καὶ τὸ τοιοῦτον εἶναι τὸ κοινόν ἐστι τὸ κατὰ πάντων κατηγορούμενον. Ὅθεν τὸ μὲν θεῖον εἶναι ἁπλῶς ἀποκλείει τὴν προσθήκην· τὸ δὲ κοινὸν εἶναι οὔτε διωρισμένως ἐγκλείει οὔτ' ἀποκλείει, ἀλλ' ἑκάτερον αὐτῷ συμβαίνειν δύναται. Ὅμοιον δὲ τὸ εἰρημένον ἐστὶν ὡς εἴ τις λέγοι, ὅτι τὸ ζῷον ἄλογον καὶ τὸ ζῷον ταὐτόν εἰσι, διότι οὐδετέρῳ αὐτῶν ἡ τοῦ λόγου προσθήκη γίνεται, ἀλλὰ διαφέρουσι· τῷ γὰρ ἀλόγῳ ζῴῳ οὐ προστίθεται ὁ λόγος, διότι ἐκ τοῦ λόγου ἐστὶν αὐτοῦ τὸ μὴ προστίθεσθαι τούτῳ τὸν λόγον· τῷ δὲ ζῴῳ οὐ γίνεται προσθήκη, διότι οὐκ ἔστιν ἐκ τοῦ λόγου αὐτοῦ τὸ γίνεσθαι αὐτῷ προσθήκην· ὅθεν τὸ μὲν ἄλογον ζῷον ἁπλῶς ἀποκλείει τὸν λόγον, τὸ δὲ ζῷον οὔτ' ἀποκλείει ἁπλῶς, οὔτ' ἐγκλείει, ἀλλ' ἑκάτερον δυνατόν ἐστι συμβαίνειν αὐτῷ.

## CI.

ρα'. Εἰ ὁ Θεὸς πάσας ἔχει τὰς τελειότητας ἐν αὐτῷ.

Ἐφεξῆς δὲ καὶ τὴν δευτέραν ἀπορίαν λύει, τοιαύτην οὖσαν· εἰ ὁ Θεός ἐστι τὸ εἶναι αὐτοῦ μόνον, οὐκ ἔχει λοιπὸν ἐν ἑαυτῷ πάσας τὰς τελειότητας, διότι τὸ εἶναι καὶ τὸ ζῆν καὶ τὸ νοεῖν οὕτω πρὸς ἄλληλα ἔχουσιν ὥστε τὸ μὲν ζῆν ἐγκλείειν τὸ εἶναι, ἀλλ' οὐ τὸ ἀνάπαλιν, καὶ τὸ νοεῖν ἐγκλείειν τὸ ζῆν καὶ τὸ εἶναι, ἀλλ' οὐ τὸ ἀνάπαλιν· οὐκοῦν ὅπερ

37-38 *καὶ τὸ νοεῖν — τὸ ἀνάπαλιν* om S



Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐστὶν εἶναι μόνον οὐ καὶ τὰς ἄλλας τελειότητας ἐμπεριλαμβάνει, τὴν τοῦ ζῆν δηλονότι καὶ τοῦ νοεῖν, καὶ διὰ τοῦτο, εἴπερ ὁ Θεὸς εἶναι μόνον f. 80 ἐστίν, οὐκ ἄρα ἔχει ἐν ἑαυτῷ πάσας τὰς τελειότητας. | Ταύτην τὴν ἀπορίαν λύει λέγων ὅτι, εἰ καὶ ὁ Θεός ἐστι τὸ εἶναι μόνον, οὐ μέντοι γε δεῖ διὰ τοῦτ' ἐλλείπειν αὐτῷ τινὰς τελειότητας καὶ εὐγενείας, εἴτουν ἐπισημότητας. Ἔχει μὲν οὖν ἐν ἑαυτῷ πάσας τὰς ἐν πᾶσι τοῖς γένεσι· διὸ καὶ μόνος αὐτὸς ἁπλῶς εἶναι τέλειος λέγεται, ὡς τῷ Φιλοσόφῳ καὶ τῷ Ἀβερόῃ δοκεῖ ἐν πέμπτῳ τῶν μετὰ τὰ φυσικά. Ἀλλ' ἔχει, φησί, ταύτας ὑψηλοτέρῳ τρόπῳ καὶ βελτίονι πάντων, διότι ἐν αὐτῷ ἔνεισι πᾶσαι αἱ τελειότητες, ἐφόσον ἡ οὐσία αὐτοῦ πάσας ἐν ἑαυτῇ περιέχει, μία οὖσα καὶ ἁπλουστάτη, ἐν δὲ τοῖς ἄλλοις πράγμασι διαφέρουσιν. Εἶτα καὶ παραδείγματι ποιεῖ τὸν λόγον σαφέστερον, τὸν περὶ τῶν θείων τελειοτήτων εἰρημένον αὐτῷ.

Εἶπεν οὖν ἄν τις ἐνταῦθα δικαίως, ὡς ὁ διδάσκαλος οὐ λύει τὸ ζήτημα, οὐδὲ τὴν *αἰτίαν ἀποδίδωσιν*, οὔτε μὴν πρὸς τὸν ἐναντίον ἀποκρίνεται λόγον, ἀλλὰ μόνον ὅτι τοῦθ' οὕτως ἔχει, φησί· καὶ διὰ τοῦτο πρὸς ἐντελεστέραν κατανόησιν τῶν εἰρημένων εἰδέναι δεῖ, ὅτι ὁ Θεὸς ἔχει ἐν ἑαυτῷ πάσας τῶν κτισμάτων τὰς τελειότητας, καὶ ὑψηλοτέρῳ τρόπῳ· τούτου δὲ ὁ λόγος ἐστίν, ὅτι πᾶσα τελειότης ἐν τῷ ἀποτελέσματι οὖσα περιέχεται ἐν τῇ αἰτίᾳ αὐτοῦ ἢ τῷ αὐτῷ τρόπῳ, ἂν ᾖ τὸ αἴτιον συνώνυμον, ἢ βελτίονι καὶ ὑψηλοτέρῳ, ἂν ᾖ τὸ αἴτιον ἀναλογικόν. Ἐπεὶ δὲ ὁ Θεὸς *αἰτία ποιητικὴ πάντων ἐστίν*, ἑπόμενόν ἐστιν ἔχειν αὐτὸν ἁπάσας τὰς τελειότητας· ἅτε δὲ μὴ ὢν αἰτία συνώνυμος ἀλλ' ἀναλογική, εἰκότως ἔχει ταύτας ὑψηλότερόν τινα τρόπον. Τὸν δ' εἰς τοὐναντίον λόγον δεῖ λύειν οὕτω. Τὸ εἶναι διχῶς λαμβάνεσθαι δύναται· ἕνα μὲν τρόπον, ἁπλῶς τε καὶ καθ' αὑτό, καὶ οὕτως οὐκ ἐγκλείει τὸ εἶναι τὰς ἄλλας ἐν ἑαυτῷ τελειότητας, ἀλλ' αἱ ἄλλαι πᾶσαι ἐγκλείουσιν αὐτὸ σφίσιν αὐταῖς· ἕτερον δὲ τρόπον, ὡς ὑφέστηκεν, καὶ οὕτω τὸ εἶναι πάσας ἐγκλείει· καὶ τούτου τὸ αἴτιον ἐστίν, ὅτι πᾶν ὑφεστηκὸς ἔν τινι γένει ἔχει ἐν ἑαυτῷ πᾶσαν τελειότητα τὴν ἐν ἐκείνῳ τῷ γένει, ὥσπερ εἰ ἦν τις ὑφεστῶσα λευκότης, εἶχεν ἂν ἐν ἑαυτῇ πᾶσαν τελειότητα τῆς λευκότητος· ὁμοίως οὖν καὶ τὸ εἶναι ὅπερ ὑφέστηκεν ἔχει ἐν ἑαυτῷ πᾶσαν τὴν τοῦ ὄντος τελειότητα. Ἀλλ' ἐπειδὴ πᾶσαι αἱ τελειότητές εἰσι τοῦ εἶναι καὶ τοῦ ὄντος τελειότητες, διότι πᾶν ὅπερ ἔχει τινὰ τελειότητα, ἔχει καὶ τοιόνδε εἶναι, ἕπεται καὶ τὸν Θεόν, εἴπερ ἐστὶν εἶναι μόνον καὶ ὑφεστὼς εἶναι, πάσας ἐν ἑαυτῷ τὰς τελειότητας ἔχειν, καὶ πρὸς τούτῳ κατὰ τὸν ὑψηλότατον καὶ τελεώτατον τρόπον, ὅσῳ καὶ ἡνωμένως.

34 *τινὰ* om L    36-37 *καὶ τελεώτατον* om L

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

*Δεύτερον τρόπον εὑρίσκεται ἡ θεία οὐσία.* — Διηυκρινήσας τὸν πρότερον τρόπον τῆς οὐσίας, ὅς ἐστιν ἐν μόνῳ τῷ Θεῷ, νῦν διορίζεται περὶ τοῦ δευτέρου γένους, καὶ διαιρεῖται τὸ μέρος τοῦτο εἰς τρία· πρῶτον μὲν γὰρ διορίζεται τὸν δεύτερον τρόπον | f. 80ᵛ τοῦ ἔχειν οὐσίαν· δεύτερον, διασαφεῖ πῶς τὸ γένος καὶ ἡ διαφορὰ λαμβάνεται ἐν ταῖς ἁπλαῖς οὐσίαις ἐκείναις· τρίτον, ἀπορίας λύει τινάς. Τὸ πρῶτον αὖθις διαιρεῖται εἰς τρία· πρῶτον μὲν γὰρ φανεροῖ πῶς ἔχει τι οὐσίαν ἄλλον τρόπον παρὰ τὸν εἰρημένον· δεύτερον, ἀπορίαν λύει τινὰ ἐκ τῶν προειρημένων ἀνίσχουσαν· τρίτον, πορίζεταί τινα ἀλήθειαν.

Τίθησι τοίνυν τὸν δεύτερον τρόπον τοῦ ἔχειν οὐσίαν, καὶ φησὶν ὅτι κατὰ δεύτερόν τινα τρόπον εὑρίσκεται ἡ οὐσία ἐν ταῖς κτισταῖς φύσεσι, ταῖς νοεραῖς, αἷς ἡ οὐσία διαφέρει τοῦ εἶναι, εἰ καὶ χωρὶς ὕλης ἐστὶν αὐτῶν ἡ οὐσία· ὅθεν τὸ εἶναι αὐτῶν οὐκ ἔστιν ὑφεστὼς καὶ ἀπολελυμένον. Καὶ τὰ λοιπὰ περὶ τοῦ δευτέρου τούτου προστίθησι, σαφῆ ὄντα πάνυ κατὰ τὴν λέξιν· ὅθεν οὐ δεῖ αὐτοῖς ἐφιστάνειν. Τοσοῦτον διορίσασθαι δεῖ πρὸς σαφήνειαν τῶν λεγομένων, ὅπως εὑρίσκεται τὸ πέρας καὶ ἡ ἀπειρία ἐν πᾶσι τοῖς κτίσμασιν, ὅτι ζητεῖσθαι εἴωθεν εἰ δυνατόν ἐστιν εὑρεῖν ἄπειρόν τι ἐνεργείᾳ. Καὶ τὸ μὲν εἶναί τι κατὰ ποσότητα ἄπειρον ἔνιοι καὶ φρονοῦσι καὶ ὑπερδικοῦσι· τὸ δ' εἶναί τι κατ' οὐσίαν ἄπειρον ἐν τοῖς οὖσιν οὐδεὶς νοῦν ἔχων φρονεῖ· πᾶν γὰρ κτιστόν, καὶ πεπερασμένον ἐστὶν κατ' οὐσίαν, ὅτι, κατὰ τὸν ἱερὸν Διονύσιον, ἅπαν κτιστὸν ὅροις ῥητοῖς περιγέγραπται. Οὐδὲν δ' ὅμως κωλύει κἂν τοῖς κτιστοῖς πράγμασι τρόπον τινὰ τὴν ἀπειρίαν εὑρίσκεσθαι, διαφόρως μέντοι γε κατὰ τὴν τῶν κτισμάτων διαφοράν. Ἐν μὲν γὰρ τοῖς ἐξ ὕλης καὶ εἴδους συγκειμένοις πράγμασιν ἡ ἀπειρία ἐκ τοῦ μέρους τῆς ὕλης ἐστίν, ἥτις καθ' αὑτὴν ἐστιν ἐν δυνάμει πρὸς πάντα τὰ εἴδη καὶ ἐν οὐδενὶ προσλαμβάνεται· τὸ δὲ πέρας ἐστὶν ἐκ τοῦ μέρους τοῦ εἴδους, ὃ καὶ προσλαμβάνεται καὶ ὁρίζεται διὰ τῆς ὕλης. Ἐν δέ γε ταῖς ἁπλαῖς οὐσίαις ἡ μὲν ἀπειρία ἐστὶν ἐκ τοῦ μέρους τῆς φύσεως ἢ τῆς οὐσίας, ἥτις ἐν οὐδεμιᾷ προσλαμβάνεται ὕλῃ, ἧς πρὸς τὴν δεκτικότητα ὁρίζοιτ' ἄν· τὸ δὲ πέρας ἐκ τοῦ μέρους αὐτοῦ τοῦ εἶναι· προσλαμβάνεται γὰρ ἐν τῇ οὐσίᾳ καὶ κατὰ τὴν αὐτῆς περιγράφεται δεκτικότητα.

*Εἰ γοῦν καὶ ἡ ἀτομότης αὐτῆς.* — Ἐνταῦθα λύει τινὰ ἀπορίαν τοιαύτην. Εἴρηται τὴν λογικὴν ψυχὴν πολλαπλασιάζεσθαι κατὰ τὸν ἀριθμὸν διὰ τὸ σῶμα, ᾧ ἑνοῦται· ἐκ τούτου γὰρ λαμβάνει τὴν ἀτομότητα· ἀλλὰ τὸ σῶμα αἴτιόν ἐστι τῆς ἀτομότητος τῶν ψυχῶν· ἀναιρουμένων ἄρα τῶν σωμάτων, καὶ ἡ τῶν ψυχῶν ἀναιρεῖται ἀτομότης, καὶ οὕτως αἱ

---

1 *Δεύτερον τρόπον εὑρίσκεται*: c. VI, 2, p. 171, 11 33 *Εἰ γοῦν καὶ ἡ ἀτομότης*: c. VI, 2, p. 171, 24

Ε.Υ.Δ τμ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χωρισθεῖσαι ψυχαὶ οὐκ ἂν εἶεν ἀριθμῷ διαφέρουσαι, ἀλλ' ἢ καὶ αὗται ἀναιρεθήσονται, ἢ πρὸς μίαν συναλειφθήσονται πᾶσαι, ἢ διοίσουσιν ἀλλή-
f. 81 λων τῷ εἴδει καὶ οὐ τῷ ἀριθμῷ. Ταύτην δὲ τὴν ἀπορίαν | ὁ διδάσκαλος λύει. Εἰ γὰρ καὶ ἡ ἀτομότης, φησί, τῆς ψυχῆς ἐκ τοῦ σώματος ἤρτηται αἰτιωδῶς ὅσον πρὸς τὴν αὐτῆς ἔναρξιν, διότι οὐ περιγίνεται αὐτῇ τὸ ἀτομικὸν εἶναι εἰ μὴ ἐν τῷ σώματι οὗ ἐστιν ἐντελέχεια, οὐ μέντοι γε δεῖ διὰ τοῦτο, καὶ περιῃρημένου τοῦ σώματος, τὴν ἀτομότητα τῆς ψυχῆς ἀπόλλυσθαι. Ἐπειδὴ γάρ, τό γε ἐφ' ἑαυτῇ, ἔχει εἶναι ἀπολελυμένον τοῦ σώματος, ἐπειδὰν τὸ εἶναι τοῦτο ἄτομον γένηται διὰ τὸ γενέσθαι ταύτην εἶδος τουδὶ τοῦ σώματος, ἀνάγκη τοῦτο τὸ εἶναι μένειν ἄτομον ἐν αὐτῇ, καὶ χωρισθείσῃ τοῦ σώματος. Καὶ τοῦτο βεβαιοῖ τοῦ Ἀβιγκένου ῥητῷ, ταὐτόν τι σχεδὸν τοῖς εἰρημένοις ἠχοῦντι.

## CII.

ρβ'. Ὅτι τὸ εἶναι διαφόρως ἔχει ἐν τοῖς διαφόροις συνθέτοις.

Ἀλλὰ δεῖ σαφηνείας χάριν εἰδέναι, ὅτι ἄλλως ἔχει τὸ εἶναι ἐν τοῖς ἐκ ψυχῆς λογικῆς καὶ σώματος συγκειμένοις, οἷον ἐν τοῖς ἀνθρώποις, καὶ ἄλλως ἐν τοῖς ἄλλοις συνθέτοις. Ἐν μὲν γὰρ ἀνθρώπῳ τὸ εἶναι αὐτὸ τῆς ψυχῆς ἐστι μόνον· ἐν μέντοι τῇ ταύτης προαγωγῇ, κοινωνεῖται τοῦτο τῷ σώματι· ὅθεν αὐτὸ τοῦτο τὸ εἶναι, τὸ τῆς ψυχῆς, καὶ τοῦ συνθέτου λέγεται εἶναι, καθόσον καὶ τῷ σώματι κοινὸν γίνεται καὶ ἕν τι ἀποτελεῖται, καὶ διὰ τοῦτ' ἐπειδὴ ὀφείλεται αὐτῇ τῇ ψυχῇ τὸ εἶναι ἀπολελυμένως, δύναται χωρίζεσθαι τοῦ σώματος καὶ ἄφθαρτος διαμένειν. Ἀλλὰ τὸ ἐν τοῖς ἄλλοις συνθέτοις εἶναι οὐκ ἔστιν εἶναι τῶν εἰδῶν, κοινοποιούμενον τοῖς σώμασιν, εἰ καὶ τούτου δὴ τοῦ εἶναι πᾶν εἶδος αἴτιον ἐστὶν ἁμηγέπῃ, καὶ διότι τοῖς ἄλλοις εἴδεσιν, ἃ παρὰ τὴν λογικὴν εἰσι ψυχήν, οὐκ ὀφείλεται τὸ εἶναι, ἀλλὰ τῷ συνθέτῳ, διὰ τοῦτο οὐ δύνανται ταῦτα τῶν ἰδίων σωμάτων χωρίζεσθαι οὐδ' ἄφθαρτα διαμένειν, τούτων ὑποκειμένων. Εἰδέναι δεῖ περαιτέρω ὅτι, ὡς ἔχει πρὸς τὸ εἶναι, οὕτω καὶ πρὸς τὸ ἓν εἶναι ἔχει ἕκαστον τῶν ὄντων. Ἐπεὶ τοίνυν αὐτῇ τῇ λογικῇ ψυχῇ, τό γε ἐφ' ἑαυτῇ, τὸ εἶναι ὀφείλεται, ἑπομένως ὀφείλεται ταύτῃ καὶ ἓν εἶναι. Ὥσπερ οὖν, εἰ καὶ τὸ ὀφειλόμενον ταύτῃ εἶναι οὐ λαμβάνει εἰ μὴ ἐν τῷ σώματι, ἀλλ' οὐδὲν τούτου προσισταμένου, καὶ χωρισθεῖσα τοῦ σώματος κατέχει τοῦτο καὶ διασῴζει, οὕτως, εἰ καὶ τὸ ἓν εἶναι οὐ λαμβάνει εἰ μὴ ἐν τῷ σώματι δημιουργουμένη, καθέξει μέντοι γε τοῦτο καὶ χωρισθεῖσα τοῦ σώματος· καὶ διὰ τοῦτο φησὶν ὁ διδάσκαλος, ὅτι τὸ σῶμα πρόφασίς ἐστι τῆς ἀτομότητος τῆς ψυχῆς, οὐκ αἰτία. Πρόφασις γὰρ διαφέρει τῆς αἰτίας· πρόφασις μὲν γάρ ἐστιν αἰτία ἡ οὐκ ἄνευ αὐτῆς, ἢ καὶ ἔτυχεν

ἰδίου παρὰ Λατίνοις ὀνόματος ὀκκασίων προσαγορευομένη· | αἰτία δέ f. 81ᵛ ἐστιν ἐξ ἧς καθ' αὑτὸ τὸ ἀποτέλεσμα ἕπεται· καὶ διὰ τὸ τὴν λογικὴν ψυχὴν μὴ λαμβάνειν τὸ εἶναι αὐτῆς μηδὲ τὸ ἓν εἶναι αὐτῆς ἄνευ τοῦ σώματος, διὰ τοῦτο φησὶν ὡς ἡ τῆς ψυχῆς ἀτομότης ἐκ τοῦ σώματός ἐστιν ὡς ἐξ αἰτίου τοῦτον τὸν τρόπον, τὸν οὐκ ἄνευ αὐτοῦ δηλονότι, καὶ ὡς ἂν τις εἴποι κατὰ Λατίνους, τῇ προφάσει τοῦ σώματος. Τούτῳ δὲ ὀρθῶς συμφωνεῖ καὶ τὸ τοῦ Ἀβιγκένου ῥητόν, λέγοντος ὡς ὁ πληθυσμὸς καὶ ἡ ἀτομότης τῆς ψυχῆς τοῦ σώματος ἤρτηται ὅσον πρὸς τὴν ἀρχὴν αὐτῆς· οὐ γὰρ προάγεται εἰς τὸ εἶναι εἰ μὴ ἐν τῷ σώματι, ἐν ᾧ λαμβάνει τὸ εἶναι καὶ τὸ ἓν εἶναι. Ἐξ οὗ δῆλον ἐστὶν οὐκ ὀρθῶς πάνυ λέγεσθαι ὑπ' ἐνίων τὸ τὰς χωρισθείσας ψυχάς, καὶ μετὰ τὸν χωρισμόν, αὐτοῖς τοῖς σώμασιν ἀτομίζεσθαι οἷς ἥνωντο πρότερον, ἢ τῇ πρὸς αὐτὰ σχέσει· ἑαυταῖς γὰρ μᾶλλόν εἰσιν ἄτομοι.

Ἐφεξῆς λέγων· καὶ διότι ἐν ταύταις ταῖς οὐσίαις, ἀλήθειάν τινα ἐκ τῶν εἰρημένων πορίζεται, δηλονότι τὸ τοὺς ἀγγέλους ἀληθῶς τε καὶ κατ' εὐθεῖαν εἶναι ἐν κατηγορίᾳ, καὶ τοῦτο συνάγει ἐξ ὧν ἔλεγε πρότερον, ὡς ἐν ταῖς νοεραῖς οὐσίαις οὐκ ἔστι ταὐτὸν ἥ τε οὐσία καὶ τὸ εἶναι. Ὡς ἀνωτέρω γὰρ εἴρηται, ἐκεῖνα εἰσὶν ἀληθῶς ἐν κατηγορίᾳ ἐν οἷς ἡ οὐσία διενήνοχε τοῦ εἶναι, καὶ διὰ τοῦτο μόνος ὁ Θεὸς τῆς κατηγορίας ἐκκλείεται. Καὶ ἐπειδή, φησί, τὸ ἐν κατηγορίᾳ τινὶ ταττόμενον ἰθυτενῶς, ὡς οὕτως εἰπεῖν, καὶ εὐθυγράμμως εἶδος ἐστίν, ἅπαν δὲ εἶδος ἐκ γένους συγκείμενόν ἐστι καὶ διαφορᾶς, διὰ τοῦτο καὶ γένος ἐν σφίσιν εὑρίσκεται καὶ διαφορά, εἰ καὶ αἱ κυρίως διαφοραὶ τούτων εἰσὶν ἡμῖν ἄγνωστοι. Δείκνυσι δὲ τοῦτο ἀπὸ τοῦ μᾶλλον· τὰς γὰρ τῶν αἰσθητῶν τουτωνὶ διαφοράς, φησίν, ἐκδηλοτέρας ἡμῖν εἶναι δεῖ, διὰ τὸ ὑποπίπτειν αὐτὰ τῇ αἰσθήσει, τῶν διαφορῶν τῶν πνευματικῶν οὐσιῶν, αἳ τὴν αἴσθησιν ὑπερβαίνουσιν. Ἀλλ' ὅμως κἂν τούτοις τοῖς αἰσθητοῖς λανθάνουσιν ἡμᾶς αἱ οὐσιώδεις διαφοραί· πολλῷ ἄρα μᾶλλον αἱ τῶν νοερῶν οὐσιῶν ἄδηλοι ἡμῖν ἔσονται καὶ λανθάνουσαι. Ἀνάγκης δ' οὔσης ἡμῖν ἐν τοῖς ὁρισμοῖς διαφοραῖς τισι χρῆσθαι, ὡς ἂν ἐξ αὐτῶν εἴδησίν τινα τῶν πραγμάτων ἔχωμεν, δηλοῦμεν αὐτὰς ταῖς ἐπουσιώδεσι διαφοραῖς, ταῖς ἐκ τῶν οὐσιωδῶν ἀνισχούσαις, ὡς ἡ αἰτία δηλοῦται τῷ ταύτης ἀποτελέσματι· οὕτω γὰρ καὶ τὸ δίπουν ὡς οὐσιώδης διαφορὰ τοῦ ἀνθρώπου τίθεται. Ἀλλὰ ταύτῃ διαφέρουσιν αἱ τῶν ἀσωμάτων πραγμάτων οὐσιώδεις διαφοραὶ τῶν διαφορῶν τῶν αἰσθητῶν φύσεων τῷ μήτ' αὐτὰς εἶναι | γνωριμοὺς ἀφ' ἑαυτῶν, μήτε ταῖς f. 82 ἐπουσιώδεσι διαφοραῖς γνωρίζεσθαι δύνασθαι διὰ τὸ καὶ τὰ ἴδια συμβεβηκότα τῶν ἀΰλων οὐσιῶν, ἡμῖν εἶναι ἄδηλα.

---

1 *ὀκκασίων* sic codd.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## CIII.

ργ΄. Ὅπως τὸ λογικὸν οὐκ ἔστι κυρίως διαφορὰ τοῦ ἀνθρώπου.

Ἐντεῦθεν φασί τινες τὸ λογικὸν μὴ εἶναι οὐσιώδη διαφορὰν ἀνθρώπου, καίτοι πολλῶν ἄλλων καὶ γενναίων τοῦτο διϊσχυριζομένων, καὶ ὡς δοκοῦσιν, εὐλόγως· καὶ οὐ μόνον ἀντὶ τοῦ νοεροῦ λαμβανόμενον, ἀλλὰ καὶ καθὸ σημαίνει τὴν τοῦ νοῦ διεξοδικὴν ἐνέργειαν. Εἰ δὲ καὶ μὴ ἔστιν ἀληθῶς καὶ κυρίως διαφορά, ἔστι μέντοι, φασί, προσεχεστέρα παντὸς ἄλλου ὅπερ ἂν ἐπινοεῖσθαι δύναιτο. Ὅτι δὲ οὐκ ἔστιν ἴδιος διαφορὰ καὶ οὐσιώδης, ποιοῦνται σημεῖον πρῶτον μὲν τὸ ἐνταῦθα λεγόμενον, τὸ τὰς διαφορὰς τῶν αἰσθητῶν τούτων ἡμῖν εἶναι ἀδήλους, τὸν δὲ ἄνθρωπον αἰσθητὸν εἶναι δήπου· δεύτερον, τὸ ὑπὸ τοῦ Φιλοσόφου λεγόμενον ἐν πλείοσι μέρεσι· κοινῶς γὰρ ἐκεῖνος τὸ δίπουν ἀντὶ διαφορᾶς τίθησιν ἐν τῷ τοῦ ἀνθρώπου λόγῳ, καίτοι σαφές ἐστι πᾶσι μὴ εἶναι ἰδίαν τοῦτο διαφοράν, μᾶλλον δὲ μηδὲ ἴδιον, ἀλλὰ κοινόν τι ἀνθρώπῳ καὶ πολλοῖς ἄλλοις. Τίθησι δέ, ὡς ἔοικε, δίπουν, οὐ λογικόν, πρὸς τὸ δεῖξαι τὴν διαφορὰν ἀνθρώπου, τὴν ὡς ἀληθῶς οὐσιώδη ἄγνωστον ἡμῖν εἶναι. Εἰ γὰρ ἐτίθει τὸ λογικὸν ὡς διαφοράν, ἴσως ἂν ἐπῆλθέ τινι διαφορὰν ἀληθῶς ἰδίαν καὶ οὐσιώδη τοῦ ἀνθρώπου τοῦτο οἴεσθαι διὰ τὸ πολὺ πλησιάζειν αὐτῇ τοῦτο. Περὶ δὲ τοῦ δίποδος οὐδὲν ἦν δέος τοιοῦτον· οὐδεὶς γὰρ ἂν ἐπίστευσε τὸ δίπουν εἶναι διαφορὰν ἰδίαν ἀνθρώπου ὡς οὐσιώδη, ἅτε πᾶσιν ὄντος προδήλου τοῦ πλείοσι συμβαίνειν αὐτό, καὶ διὰ τοῦτο τὸ δίπουν ὁ Φιλόσοφος ἀντὶ διαφορᾶς οὐσιώδους ἐλάμβανε τοῦ ἀνθρώπου, ὡς ἐν ταῖς κατηγορίαις δῆλον ἐστίν. Τρίτον τεκμήριον ποιοῦνται οἵ γε τοιοῦτοι τὴν κοινὴν χρῆσιν· εἰώθασι γὰρ κοινῶς οὕτως ὁρίζεσθαι τὸν ἄνθρωπον· Ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητόν· οὐκοῦν οὐκ ἔστι τὸ λογικὸν ἴδιος διαφορὰ τοῦ ἀνθρώπου καὶ οὐσιώδης, ἀλλὰ διὰ τούτων τῶν διαφορῶν ἀμφοτέρων, τοῦ λογικοῦ δηλονότι καὶ τοῦ θνητοῦ, ἡ ἴδιος διαφορὰ τοῦ ἀνθρώπου οἷον εἰπεῖν περιγράφεται καὶ περιφραστικῶς ἐκδηλοῦται, ἣν ἀγνοοῦμεν. Εἰ δὲ τὸ λογικὸν ἦν ἴδιος διαφορά, ὡρίζετ' ἂν ὑπὸ πάντων· Ὁ ἄνθρωπος, ζῷον λογικόν, καὶ οὐδεμιᾶς ἂν ἔδει προσθήκης.

## CIV.

ρδ΄. Πότερον ἡ οὐσία ἡ κατηγορία ἁπλῆ ἐστιν οὐσία ἢ σύνθετος.

Ζητητέον ἐνταῦθα περὶ τῆς οὐσίας, ἥ ἐστι γένος γενικώτατον, πότερον ἁπλῆ ἐστιν οὐσία, ἢ σύνθετος· καὶ δοκεῖ ὅτι σύνθετος· φησὶ γὰρ ὁ Βοήτιος ἐν τῇ τῶν κατηγοριῶν ἐξηγήσει, ὅτι τριπλῆς οὔσης τῆς οὐσίας, τῆς ὕλης
f. 82ᵛ δηλονότι, τοῦ εἴδους | καὶ τοῦ συνθέτου, τῶν ἄκρων καταλειφθέντων, δηλονότι τῆς ὕλης καὶ τοῦ εἴδους, πραγματευτέον περὶ τοῦ μέσου, δηλαδὴ τοῦ συνθέτου. Ἀλλὰ δεῖ λέγειν πρὸς τοῦτο τὸ ζήτημα, ὅτι ἡ οὐσία τὸ

Ε. ΣΑΡΡΗΣ ΙΩΑΝΝΙΝΑ 2006

γένος τὸ γενικώτατον οὔτε ἁπλῆ ἐστιν οὐσία, οὔτε σύνθετος· καὶ σύνθετος μὲν ἐξ ὕλης καὶ εἴδους οὐκ ἔστιν, οὐδὲ ἁπλῆ, ὡς εἶδος μόνον, διότι, κατὰ τὸν διδάσκαλον τοῦτον, ὁ ἄγγελος ἀληθῶς τε καὶ κατ' εὐθεῖαν ἐστὶν ἐν τῇ τῆς οὐσίας κατηγορίᾳ, οὔτε δὲ ὕλη ἐστὶν ὁ ἄγγελος, οὔτε σύνθετος ἐξ ὕλης καὶ εἴδους· ἀλλὰ τὴν οὐσίαν τὸ γενικώτατον γένος δεῖ κατηγορεῖσθαι πάντων τῶν κατ' εὐθεῖαν ὑπ' αὐτὴν ὄντων. Ἀλλὰ μὴν οὐδ' ἁπλῆ ἐστιν, ὡς εἶδος μόνον, διὰ τὸ τὸν ἄνθρωπον καὶ τὸν ἵππον καὶ τὰ τοιαῦτα ἀληθῶς εἶναι ἐν τῇ τῆς οὐσίας κατηγορίᾳ, καθ' ὧν τὸ εἶδος μόνον κατηγορεῖσθαι οὐ δύναται· οὐ γὰρ φαμέν· Ὁ ἄνθρωπος ἐστὶν εἶδος· ἀλλὰ δεῖ λέγειν, ὡς ἡ οὐσία τὸ γενικώτατον γένος κοινόν τι ἐστὶ τῇ τε ὕλῃ καὶ τῷ εἴδει καὶ τῷ συνθέτῳ, καὶ οὐκ ἔστι τι τούτων μόνον· κἂν τις λέγῃ δεῖν αὐτὴν ἢ ἁπλῆν εἶναι, ἢ σύνθετον, δεῖ λέγειν ὡς, ἂν μὲν λαμβάνηται τὸ ἁπλοῦν καὶ τὸ σύνθετον ὡς ἐλήφθη νῦν, οὔτε ἁπλῆ, οὔτε σύνθετός ἐστιν, ἀλλ' ἕτερόν τινα τρόπον λαμβανομένων αὐτῶν, ἁπλῆ μὲν δύναται λέγεσθαι, ὅτι οὐκ ἔστιν ἐξ ὕλης συγκειμένη καὶ εἴδους, οὐ μὴν ὡς οὐσία μόνον ὕλη, ἢ μόνον εἶδος· σύνθετος δέ ἐστιν οὐκ ἐξ ὕλης καὶ εἴδους, ἀλλ' ἐκ τῆς οὐσίας καὶ τοῦ εἶναι. Κἀντεῦθεν ἐστὶ τὸ τὴν τοιαύτην οὐσίαν κοινὴν εἶναι ταῖς ἁπλαῖς καὶ συνθέτοις οὐσίαις καὶ κατ' αὐτῶν πασῶν λέγεσθαι, διότι κἂν ταῖς ἁπλαῖς κἂν ταῖς συγκειμέναις ἡ ἐκ τοῦ εἶναι καὶ τῆς οὐσίας εὑρίσκεται σύνθεσις. Διὰ τοῦτο καὶ ὁ διδάσκαλος ἐδόξασεν οὗτος μόνον τὸν Θεὸν παντάπασι τῆς κατηγορίας ἐκκλείεσθαι, τῶν ἄλλων ἢ ὀρθῶς, ἢ κατά τινα ἀναγωγήν, ἐν τῇ κατηγορίᾳ τιθεμένων ἁπάντων, ἅτε τούτων μόνων δυναμένων τῆς κατηγορίας ἀπείργεσθαι ἐν οἷς ἡ τοῦ εἶναι καὶ τῆς οὐσίας οὐχ εὑρίσκεται σύνθεσις. Βοήτιος δὲ οὐκ ἐνόει τὴν οὐσίαν τὴν κατηγορίαν ἐξ ὕλης καὶ εἴδους συγκεῖσθαι, ἀλλ' ἐνόει τῶν τριῶν τούτων, τῆς ὕλης δηλονότι, τοῦ εἴδους καὶ τοῦ συνθέτου, μόνον τὸ σύνθετον ὀρθῶς τε καὶ κατ' εὐθεῖαν ἐν τῇ κατηγορίᾳ εἶναι ὡς εἶδος.

Τοῦτο μέντοι γε εἰδέναι δεῖ. Νῦν διδάσκει ὅθεν λαμβάνεται τὸ γένος καὶ ἡ διαφορὰ ἐν τοῖς ἀγγέλοις, καὶ παραβάλλων πρὸς τὸ γένος καὶ τὰς διαφοράς, ἅπερ ἐν ταῖς συνθέτοις οὐσίαις λαμβάνονται, φησὶν ὡς οὐ τῷ αὐτῷ τρόπῳ λαμβάνεται τὸ γένος καὶ ἡ διαφορὰ ἔν τε ταῖς ἀΰλοις οὐσίαις καὶ ταύταις ταῖς αἰσθηταῖς, ἀλλὰ διαφόρως· καὶ τὴν | διαφορὰν f. 83
φανερῶς ἐκτίθησιν, ὅτι ἡ διαφορὰ καὶ τὸ γένος ἐν ταῖς ἀΰλοις οὐσίαις ἐξ ὅλου τοῦ τί εἶναι, τουτέστι τῆς οὐσίας αὐτῶν λαμβάνεται· ἐν δὲ ταῖς αἰσθηταῖς φύσεσι τὸ μὲν γένος ἐκ τοῦ ἐν αὐταῖς ὑλικοῦ, ἡ δὲ διαφορὰ ἐκ τοῦ εἰδικοῦ· καὶ ἄλλα προστίθησιν οὐδὲν δυσχερείας ἔχοντα κατά γε τὴν λέξιν. Εἶτα φησὶν ὅτι, εἰ καὶ τὸ γένος ἐν ταῖς ἀΰλοις οὐσίαις ἐξ ὅλης τῆς αὐτῶν οὐσίας λαμβάνεται, ἀλλὰ διαφόρως· αἱ γὰρ ἄϋλοι οὐσίαι

---

28 *Τοῦτο μέντοι γε εἰδέναι δεῖ*: c. VI, 2, p. 172, 12

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006